ματᾶν γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι.
ὁρᾷ ὁρᾷ πάντ' ἀεὶ χρόνος, ῥέπων μὲν ἔνια,
τὰ δὲ παρ' ἆμαρ αὖθις αὔξων ἄνω.
ἔκτυπεν αἰθήρ, ὦ Ζεῦ.
ΟΙ. ὦ τέκνα τέκνα, πῶς ἄν, εἴ τις ἔντοπος,
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;
ΑΝ. πάτερ, τί δ' ἐστὶ τἀξίωμ' ἐφ' ᾧ καλεῖς;
ΟΙ. Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται
βροντὴ πρὸς Ἅιδην. ἀλλὰ πέμψαθ' ὡς τάχος.

ἀντ. α'.

ΧΟ. ἴδε μάλα μέγας ἐρείπεται
κτύπος ἄφατος ὅδε διόβολος, ἐς δ' ἄκραν
δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.
ἔπτηξα θυμόν· οὐρανῷ γὰρ ἀστραπὰ φλέγει πάλιν.

1451. *μάτην* mss. *ματᾶν* Bl. Jebb. Qu. *μάταν* (aut *ματᾶν*, coll. Aesch. Eum. 137. *ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ*), aut *μάταιον οὐδὲν* —. *ἀξίωμα*] Propositum, consilium.

1453. *ὁρῶν πάντ' ἀεὶ χρόνος ἔκλινεν ἕτερα, τὰ δ' ἐξῆρεν αὖθις αὔξων ἄνω* Herw. Cf. Aj. 131. *ὡς ἡμέρα* (*ἦμαρ ἓν?*) *κλίνει τε κἀνάγει πάλιν* | *ἅπαντα τἀνθρώπεια.* O. R. 1213. *ὁ πάνθ' ὁρῶν χρόνος.* Fr. 280, 2. *ὁρᾷ δ' ὁρᾷ* Bergk. *ταῦτ'* mss. *πάντ'* Dind.

1454. *ἐπεὶ μὲν ἕτερα* (*ἑτέρα* L. pr.) mss. Correxi *ῥέπων μὲν ἔνια.* *ἐπεὶ* mss. *στρέφων* Hart. Nauck. Jebb. Dedi *ῥέπων* (deprimens). Cui mox opponitur *αὔξων* (*αἴρων?* tollens). Cf. Ant. 1158. *τύχη γὰρ ὀρθοῖ καὶ τύχη* (*πάλιν?*) *καταρρέπει* (*κάτω ῥέπει*) | *τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεί.* Utique requiritur participium aliquid. Schol. *τρέπων.*

1455. *τὰ δ' αὖθις παρ' ἦμαρ* Mein., coll. v. ant. 1470. *τάδε πήματ'* A. K. L. T. *τάδ' ἐπ' ἤματ'* B. V. *τὰ δὲ παρ' ἦμαρ* correctum ex schol. Lege *τὰ δὲ* (aut *εἶτα*) *παρ' ἆμαρ.* *αὔξων* mss. Qu. *αἴρων.* Cf. tamen 1567. *πάλιν σφε δαίμων δίκαιος αὔξοι.*

1459. *ἐφ' ᾧ καλεῖς*] Qu. *ἐφ' ὅ με καλεῖς.*

1460. *πτερωτὸς*] Mirum *βροντῆς* epithetum. Jebb. confert Virg. Aen. 5, 319. 'et ventis et fulminis ocior alis.'

1461. *βροντὴ*] Qu. *στεροπή.* Sed cf. 1514. Ph. 1199. *βροντᾶς αὐγαῖς.*

1466. *ἔπτηξα θυμόν*] Qu. *ἔπτηξ' ἄφωνος.* *οὐρανία* mss. Lege